www.tezaurliturgic.ro

†

# ΤΡΟΠΑΡΙΑ ΤΗΣ ΟΣΙΑΣ ΒΑΣΙΛΙΣΣΗΣ ΑΝΑΣΤΑΣΙΑΣ, ΜΗΤΡΟΣ ΤΟΥ ΑΓΙΟΥ ΣΑΒΒΑ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΣΕΡΒΙΑΣ

**(ψαλλόμενα τῇ 6η Μαΐου)**



**Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** Ἅγιον Ὄρος Ἄθως * ͵βιη´ * 2018 ***



## ΤΗ͵ ς' ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ,
## ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΒΑΣΙΛΙΣΣΗΣ ΑΝΑΣΤΑΣΙΑΣ,
## ΜΗΤΡΟΣ ΤΟΥ ΑΓΙΟΥ ΣΑΒΒΑ ΣΕΡΒΙΑΣ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ' ἀναστάσιμα τῆς ἑορτῆς καὶ γ' τῶν Ἁγίων.*
*Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.*

Τῇ σωφροσύνῃ συζῶσα, τῷ βασιλεῖ Συμεών, ὥσπερ ποτὲ ἡ Ἄννα, τὸν Θεὸν παρεκάλεις, τὴν στείρωσίν σου λῦσαι, καὶ δοῦναι καρπόν, τῆς κοιλίας παμπόθητον, εἰσακουσθεῖσα δὲ Σάββαν τὸν θαυμαστόν, Ἀναστασία ἐγέννησας.

Ὅτε ὁ ἔνδοξος Σάββας, τοῦ θείου ἔρωτος, τῷ βέλει κατετρώθη, καὶ ἐν Ὄρει Ἁγίῳ, ὡς ἔλαφος διψῶσα, τῶν μοναστῶν, θεῖον Σχῆμα ἐνδέδυται, τότε δυάδα κατέπεισε γονικήν, τὸν σταυρὸν Κυρίου ἄρασθαι.

Τὴν τοῦ Χριστοῦ Βασιλείαν, Ἀναστασία σεμνή, ποθήσασα τὴν κάτω, βασιλείαν ἠρνήσω, καὶ Σχῆμα ἐνδυθεῖσα σὺν Συμεών, τῷ φρονίμῳ συζύγῳ σου, βίον μετήλθετε ἄμφω ὁσιακόν, καὶ ἀγγέλους κατεπλήξατε.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δόξα. Ἦχος πλ.α'.*

Ὡς πολυανθῆ σε κῆπον θεοφυτεύτων καὶ χριστομυρίστων ἀρετῶν, ὁρῶντές σε μῆτερ ὁσία Ἀναστασία, ἐξαποροῦμεν τὶ πρῶτον καὶ δεύτερον ἐξαριθμῆσαι τοῦ θαυμασίου βίου σου. Τὴν νεανικήν σου παρθενίαν ἢ τὴν σώφρονα συζυγίανκ τὴν βασιλικήν σου μεγαλοπρέπειαν ἢ τὴν χριστοειδῆ ταπείνωσίν σουκ τὴν φιλοστοργίαν τῆς μητρότητος ἢ τῆς φιλαγιότητος τὴν μίμησινκ καὶ ὑπέρ πάντα τὴν ὁλοτελῆ σου ἀφιέρωσιν τῷ Κυρίῳ, σὺν τῷ ὁμοψύχῳ συζύγῳ σου Συμεών, τῇ προτροπῇ τοῦ θεοχαρίστου υἱοῦ ὑμῶν Σάββα, τῆς δόξης τῶν Ὀρθοδόξων Σέρβων. Ὅθεν ἀντιδώρως παρισταμένη νῦν κατενώπιον τοῦ Μεγάλου Βασιλέως Χριστοῦ, αἴτησαι πλουσίαν τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, ὑπὲρ τῶν πίστει τιμώντων τὴν πανίερον μνήμην σου.

*Καὶ νῦν.Τῆς ἑορτῆς.*

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Ψάλλομεν ἓν ἀναστάσιμον καὶ εἶτα τῆς Ἁγίας στιχηρὰ προσόμοια.*

*Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.*

Ὡς σωφρόνως τὸν βίον σου, συζυγίας διήνυσας, καὶ Χριστὸν ἠγάπησας ὑπὲρ ἅπαντα, καρπὸν ἐδέξω δεήσεων, τὸν Σάββαν τὸν ἔνδοξον, οὗ ταῖς θείαις προτροπαῖς, τὰ βασίλεια ἔλιπες καὶ ἀνείληφας, μοναστῶν τὸν σταυρὸν Ἀναστασία, ὑπὲρ φύσιν ἐδοξάσθης, τῇ ἀφθαρσίᾳ τοῦ σκήνους σου.

Στίχ. *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Πρακτικῶς ἐξεδίδαξας, φιλοθέαις σου πράξεσιν, ὅσα ἐξεργάζεται ὁ ὑπέρλογος, ἔρως Χριστοῦ παμμακάριστε, ὁ βέλει καρδίαν σου, κατατρώσας θαυμαστῶς, βασιλείαν λιποῦσάν σε, καὶ ταῖς τάξεσιν, μοναστῶν συνταγεῖσαν θεοφρόνως, προτροπῇ Ἀναστασία, Σάββα υἱοῦ γλυκυτάτου σου

Στίχ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.*

Ἀντεδόξασε Κύριος, σὲ δοξάσασαν ἄνασσα, Τοῦτον ὡς προείρηκε θείῳ βίῳ σου, καὶ τύπον θείας ἀγάπης σε, ἡμῖν ἐδωρήσατο, ἵνα γνῶμεν ἀσφαλῶς, βίου μέλλοντος ἔπαθλα, εἰ τηρήσωμεν, ἐντολὰς τὰς Αὐτοῦ Ἀναστασία, καὶ ἀφθάρτου Βασιλείας, οὕτως μετόχους ἐνδείξηται.

*Δόξα. Ἦχος πλ.δ΄.*

Καὶ ψυχαὶ γηραλέαι θαυμαστῶς ἀνανεοῦνται, τῇ ἀνακαινιστικῇ χάριτι, τοῦ ἐνδόξως Ἀναστάντος Κυρίου. Ὅθεν καὶ Ἀναστασίας τῆς θεοφιλοῦς ἀνάσσης, τὴν ὕπαρξιν ἐνδυναμώσας, ὡς ἔλαφον ταχυδρόμον ἀνέδειξε, τῇ ἀποῤῥίψει τῶν βιοτικῶν ἡδονῶν καὶ ἀναλήψει τοῦ ἁγίου Σχήματος, ἐν ᾧ θεαρέστως πολιτευσαμένη, εἴληφεν ὡς πιστωτικὸν βραβεῖον, τῆς τοῦ λειψάνου αὐτῆς ἀφθαρσίαν, καὶ πρεσβεύει ἐν παῤῥησίᾳ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει τιμώντων, τὰ ἱερὰ αὐτῆς ἀθλήματα.

Καὶ νῦν.Τῆς ἑορτῆς.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Τῆς Ἀναστάσεως ἐπώνυμος μῆτερ,
τὸν πορφυροῦν τῆς βασιλείας μανδύαν,
τῶν μοναστῶν τῷ σχήματι ἀντήλλαξας σοφῶς,
ἅμα τῷ συζύγῳ σου, Συμεὼν ὁμοψύχῳ,
ῥήμασι ὑπείκοντες τοῦ υἱοῦ ὑμῶν Σάββα,
ὅθεν Χριστὸς σκηνώματα ὑμῶν,
τῇ ἀφθαρσίᾳ,
δικαίως τετίμηκε.

καὶ τῆς ἑορτῆς

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

*Μετὰ τὴν α΄ στιχολογίαν.*
*Κάθισμα ἀναστάσιμον, τῆς ἑορτῆς.*

*Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα τῆς Ἁγίας.*
*Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Ὡς πάλαι Σαμουήλ, ἡ θεόψυχος Ἄννα,
ὡς δῶρον προσευχῆς, ἐκ Κυρίου εἰλήφει,
καὶ σὺ τῆς στειρώσεως,
τῶν εὐχῶν καρπὸν δέδεξαι,
Σάββαν μέγιστον,
Ἀναστασία θεόφρον,
ὅς ὡδήγησε,
Σέρβους φωτὶ τοῦ Κυρίου,
ὡς πλήρης τοῦ Πνεύματος.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

*Μετὰ τὴν γ' ᾠδὴν Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Ἐμπράκτως ἀπέδειξας πλοῦτον ἁγίας ψυχῆς, τὰ βίου ἡδύνοντα, πρὸ τῆς ἀγάπης Χριστοῦ, σοφῶς ἀποῤῥίψασα, ὅθεν Ἀναστασία, βασιλείας τῆς κάτω, δόξαν παρερχομένην, ἀπηρνήσω σωφρόνως, καὶ θεῖον Σχῆμα τῶν μοναζουσῶν, ἀναλαβοῦσα, ὁσίως διέπρεψας.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Μετὰ τὴν ς' ᾠδήν.
Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τὸν Χριστὸν ἠγάπησας, ὑπερβαλλόντως,
καὶ ζυγῷ ὑπείξασα, τοῦ θείου Σχήματος σοφῶς,
βίον ἐνάρετον ἔσχηκας,
ὁσιωθεῖσα, Ἀναστασία πάνσεμνε.

***Ὁ Οἶκος***

Τὴν ματαιότητα σοφῶς ἐναλλαγῆς τοῦ βίου,
κατανοήσασα σεμνή,
τοῦ θεοχαρίστου βλαστοῦ σου Σάββα τῇ ἐπαλείψει,
σὺν τῷ συνεύνῳ βασιλεῖ ὡς ἔλαφοι διψῶσαι,
τὰς ἀνακτορικὰς διατριβὰς κατελίπετε,
τὴν τοῦ Κυρίου μιμησάμενοι σωτήριον ταπείνωσιν.
Ὅθεν τὸ Σχῆμα ὑπελθοῦσα τῶν μοναζουσῶν σωφρόνως,
ταῖς θεαρέστοις ἀρεταῖς μεγάλως κατεκοσμήθης,
τύπος γενομένη χρισταγάπης τοῖς Ὀρθοδόξοις Σέρβοις,
καὶ τοῦ Βασιλέως τῶν βασιλευόντων τὴν εὐαρέστησιν
δεξαμένη, τῇ ἀφθαρσίᾳ τοῦ θείου σου σκήνους ἐτιμήθης,
διὸ καὶ ἡμεῖς σε ὕμνοις εὐφραντικοῖς τιμῶμεν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

θεόφρον Ἀναστασία πάνσεμνε.

**Συναξάριον.**
**Τῇ ΣΤ´ τοῦ Μηνὸς Μαΐου, τὴν μνήμην ἑορτάζομεν τῆς ὁσίας μητρὸς ἡμῶν Ἀναστασίας, βασιλίσσης τῶν Σέρβων καὶ** μητρὸς τοῦ ἁγίου Σάββα ἀρχιεπισκόπου Σερβίας.

**Στίχοι**
*Σοφῶς λιποῦσα τῆς βασιλείας δόξαν,*
*Ἀναστασία, τέταξαι μοναζούσαις.*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ἐξαποστειλάριον
Ἦχος β'. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὡς Ἄννα πάλαι εἴληφε, Σαμουὴλ εὐχῶν δῶρον, οὕτως τὸν Σάββαν δέδειξαι, θεοχάριστον δόσιν, οὗ κατὰ πνεῦμα θυγάτηρ, ἀνεδείχθης σωφρόνως, δόξαν ἀνάσσης πρόσκαιρον, σὺν συζύγῳ λιποῦσα, καὶ μοναστῶν, Σχῆμα ἐνδυθέντες Ἀναστασία, μεγάλως ἐκοσμήθητε, ἀφθαρσίᾳ λειψάνων.

καὶ τῆς ἑορτῆς.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Ψάλλομεν πρῶτον τὸ ἀναστάσιμον τῆς ἑορτῆς δὶς καὶ εἶτα στιχηρὰ προσόμοια τῆς Ἁγίας.*
*Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.*

Νόμοι τῆς φύσεως τρέπονται, ὅτε Χριστὸς βουληθῇ, καὶ θαυμάσια γίνονται, ὥς περ πεπειράμεθα, καρποὶ ὄντες τῆς πίστεως. Ἀναστασία σεπτὴ βασίλισσα, εὐχαῖς καρδίας, στείρωσιν ἔλυσε, καὶ δῶρον εἴληφε, Σάββαν τὸν θεόφρονα, ὅστις πατὴρ ἐγένετο, ταύτης ἐν Πνεύματι.
Τὴν κοσμικὴν ματαιότητα, Ἀναστασία σεμνή, ὡς μηδὲν τὸ ὠφέλιμον, τῇ ψυχῇ προσφέρουσαν, ἀπεστράφης ὡς δίκαιον· Εὐαγγελίου τηροῦσα ἀκρίβειαν, καὶ ἀρετὰς ἐνδυθεῖσα τοῦ Πνεύματος. Ὅθεν χριστόγραφος, τῷ λαῷ σου γέγονα ἐπιστολή,
ἅπαντας προτρέπουσα, πρὸς τὴν ζωὴν τοῦ Χριστοῦ.

Ὁδοὶ Θεοῦ ἀκατάληπτοι, τοῖς ἀνθρωπίνως βιοῦν, ὅτι ὄπισθεν κρύπτουσι, θησαυρὸν οὐράνιον, καὶ θεότητος μέθεξιν. Ἅπερ ποθοῦντες ὁ Συμεὼν ὁ σοφός, Ἀναστασία τε ὁμόφρων σύζυγος,
οἵτινες ῥήμασι Σάββα καθυπείκοντες βλαστοῦ αὐτῶν, πάσας ἀπηρνήσαντο βασιλικὰς ἡδονάς.

Ὡς ἀετοῦ ἡ νεότης σου, Ἀναστασία σεμνή, ἐκαινίσθη ὡς εἴληφας, Σχῆμα τὸ θειότατον, καὶ πρὸς νίκας ἐφώρμησας, ὡς ναῦς δὲ πλήρης ὅρμον κατείληφας, τοῦ γλυκυτάτου Χριστοῦ τρισόλβιε, Ὃν καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε πόθῳ πολλῷ,
καὶ πανηγυρίζουσι τὴν θείαν μνήμην σου.

*Δόξα. Ἦχος πλ.α΄.*

Ὁ ὑπέρκαλλος ψυχεραστὴς Ἰησοῦς,
μυστικῶς κατέτρωσε τὰς ψυχὰς ἡμῶν,
θεόφρον Ἀναστασία καὶ Συμεὼν θεονούστατε,
ὅτε τῇ προτροπῇ τοῦ κεχαριτωμένου βλαστοῦ ὑμῶν Σάββα,
βασιλικὴν ματαιοδοξίαν φαιδρῶς κατελίπετε,
διὰ τὴν ἀκατάλυτον Βασιλείαν τῶν οὐρανῶν.
Ὅθεν ὡς ἔμπνουν διαθήκην θείας ἀγάπης
τοὺς βίους ἡμῶν δωροφορήσαντες,
δέξασθε, δεόμεθα, χριστοηττηθέντες ἄνακτες,
ὅπως ἀείποτε πρεσβεύητε,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα ἢ τῆς ἑορτῆς.

*Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου*

*Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον
τῆς ἡμέρας καὶ τὰ ὁσιακά.*

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.*

*Μεγαλυνάρια*

Σύζυγος ὑπῆρξας ἰδανική,
μήτηρ χριστοφόρος,
καὶ βασίλισσα θαυμαστή,
ὑπὲρ πάντα ὅμως,
ἐν μοναζούσαις ὤφθης,
σεπτὴ Ἀναστασία,
τύπος θεόγραφος.

Ὥσπερ πάλαι Ἄννα τὸν Σαμουήλ,
ἐκ Θεοῦ εἰλήφει,
οὕτω Σάββαν τὸν θαυμαστόν,
ὡς δῶρον ἐδέξω,
σεμνὴ Ἀναστασία,
μεθ’ οὗ νῦν συναγάλλῃ,
εἰς τὰ οὐράνια.

Πεῖραν Βασιλείας τῶν οὐρανῶν,
σχόντες ὁμοψύχως,
ἐχωρήσατε πρὸς αὐτήν,
Συμεὼν θεόφρον,
σεμνὴ Ἀναστασία,
καὶ Σάββα γένους Σέρβων,
πρέσβεις πρὸς Κύριον.

*Στίχοι*
*Ὕψωσον χεῖρας, σεμνὴ Ἀναστασία,*
*Ὑπὲρ ὑμνούντων σε Χριστῷ Ἀναστάντι.*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ